σαντο, καλέσαντες τὸν τόπον ἐκεῖνον αἰσώπειον. με-
τὰ δὲ ταῦτα ἐξελθὼν περιεπορεύετο τὴν οἰκουμένην.
καὶ ἐν τοῖς ἀκροατηρίοις διελέγετο. παραγενομένου δὲ
αὐτοῦ ἐν βαβυλῶνι καὶ τὴν ἑαυτοῦ ἐπιδειξαμένου σο-
φίαν, μέγας ἐγένετο παρὰ λυκούργῳ τῷ βασιλεῖ. ἐν
ἐκείνοις γὰρ τοῖς καιροῖς οἱ βασιλεῖς εἰρηνεύοντες πρὸς
ἀλλήλους καὶ τερπόμενοι προβλήματα φιλοσοφικὰ
διὰ γραμμάτων ἔπεμπον πρὸς ἀλλήλους. καὶ οἱ μὴ
διαλυσάμενοι φόρους ἐτέλουν τοῖς προτιθεμένοις. ὁ
δὲ αἴσωπος τὰ πεμπόμενα τῷ λυκούργῳ προβλή-
ματα ἐπιλύων εὐδοκιμεῖν ἐποίει τὸν βασιλέα. αὐ-
τὸς δὲ διὰ τοῦ λυκούργου τοῖς βασιλεῦσι προβλήματα
ἔπεμπε. καὶ μὴ δυνάμενοι λῦσαι, φόρους τῷ λυ-
κούργῳ παρεῖχον. καὶ οὕτως ἡ τῶν βαβυλωνίων προε-

κοπτε